ὁ τοῦ τρίτου λέγω δὲ ὅ, τε τοῦ ♄ καὶ ὁ τοῦ ☿. τελευταῖος δὲ ὁ τοῦ λοιποῦ ▽ κύριος ὁ τοῦ ♂. ἐν δὲ τῷ δευτέρῳ ▽ γῆς καὶ πυ καὶ ♃ πάλιν τὴν αὐτὴν κατὰ ζώδιον ἔχοντι * διαφοράν, ὁ μὲν τῆς ♀ πρῶτος εἶθ᾽ ὁ τοῦ ♄ πάλιν καὶ ὁ τοῦ ☿. μετὰ ταῦτα δὲ ὁ τοῦ ♂. τελευταῖος δὲ ὁ τοῦ ♃. σχεδὸν δὲ καὶ ἐπὶ τῶν λοιπῶν δύο τριγώνων ἡ τάξις ἤδη συνορᾶται. τῶν μέντοι τοῦ αὐτοῦ τριγώνου δύο κυρίων, λέγω δὴ τοῦ ♄ καὶ τοῦ ☿ τὸ πρωτεῖον τῆς κατὰ τὸ οἰκεῖον τάξεως, ἡμέρας μὲν ὁ τοῦ ♄ λαμβάνει νυκτὸς δὲ ὁ τοῦ ☿. καὶ ἡ καθ᾽ ἕκαστα δὲ ποσότης ἁπλῆ τις οὖσα τυγχάνει. ἵνα γὰρ καθ᾽ ὑπόβασιν τῆς τῶν πρωτείων τάξεως, καὶ ἡ ποσότης τῶν ἑκάστου ὁρίων * μιᾷ μοίρᾳ ἐλλείπῃ τῆς προτεταγμένης τῷ μὲν πρώτῳ πάντοτε δίδοασι μοίρας. η'. τῷ δὲ δευτέρῳ ζ'. τῷ δὲ τρίτῳ. ς'. τῷ δὲ τετάρτῳ. ε'. τῷ δὲ τελευταίῳ. δ'. συμπληρουμένων οὕτω τῶν κατὰ τὸ ζώδιον. λ'. μοιρῶν. συνάγονται δὲ καὶ ἐκ τούτων τοῦ μὲν κρόνου μοῖραι, ἡμέρας μὲν οη'. νυκτὸς δὲ ξς'. τοῦ δὲ ♃. οβ'. τοῦ δὲ ♂. ξθ'. τῆς δὲ ♀ οε'. τοῦ δὲ ☿ ἡμέρας μὲν ξη'. νυκτὸς δὲ ο'. * οὕτω γίνονται μοῖραι. τξ'. τούτων μὲν οὖν τῶν ὁρίων ἀξιοπιστότερα τὰ κατὰ τὸν αἰγυπτιακὸν τρόπον. καὶ διὰ τὸ τὴν συναγωγὴν αὐτῶν παρὰ τοῖς αἰγυπτίοις συγγραφεῦσιν ὡς χρησίμην, ἀναγραφῆς ἠξιῶσθαι, καὶ διὰ τὸ συμφωνεῖν αὐτοῖς ὡς ἐπίπαν τὰς μοίρας τῶν ὁρίων, ταῖς καταπεταγμέναις ὑπ᾽ αὐτῶν παραδειγματικαῖς γενέσεσιν. αὐτῶν μέντοι τούτων τῶν συγγραφέων μηδαμῆ τὴν σύνταξιν αὐτῶν μηδὲ τὸν ἀριθμὸν ἐμφανιζόντων, ὕποπτον ἂν εἰκότως καὶ εὐδιάβλητον αὐτῶν γένοιτο τὸ περὶ τὴν τάξιν ἀνομολόγητον. ἤδη μέντοι περιτετυχήκαμεν ἡμεῖς ἀντιγράφῳ παλαιῷ, καὶ τὰ πολλὰ διεφθαρμένῳ, περιέχοντι φυσικὸν καὶ σύμφωνον λόγον τῆς τάξεως καὶ τῆς ποσότητος αὐτῶν, μετὰ τοῦ τάς τε τῶν προειρημένων γενέσεων μοιρογραφίας, καὶ τὸν τῶν συναγωγῶν ἀριθμὸν σύμφωνον εὑρίσκεσθαι τῇ τῶν παλαιῶν ἀναγραφῇ. τὸ δὲ κατὰ λέξιν τοῦ βυβλίου πάνυ μακρὸν ἦν καὶ μετὰ περιουσίας ἀποδείξεως, ἀδιάγνωστον δὲ καὶ διεφθαρμένον, καὶ μόλις αὐτὴν τὴν τοῦ καθόλου προαίρεσιν δυνάμενον ἡμῖν ὑποτυπῶσαι, καὶ ταῦτα συνεφοδιαζούσης καὶ τῆς αὐτῶν τῶν ὁρίων ἀναγραφῆς τῷ μᾶλλόν πως διὰ τὸ πρὸς τῷ τέλει τοῦ βυβλίου καταπετάχθαι, διασεσωσμένων. ἔχει γοῦν ὁ τύπος τῆς ὅλης αὐτῶν ἐπιβολῆς τὸν τρόπον τοῦτον. ἐπὶ μὲν γὰρ τῆς τάξεως τῆς καθ᾽ ἕκαστον δωδεκατημόριον παραλαμβάνεται τά τε ὑψώματα, καὶ τὰ τρίγωνα, καὶ οἱ οἶκοι. καθόλου μὲν γάρ, ὁ μὲν. β'. τούτων ἔχων ἀστὴρ ἐν τῷ αὐτῷ ζωδίῳ προτάσσεται κἂν κακοποιὸς ᾖ, ὅπου δὲ τοῦτο οὐ συμβαίνει, οἱ

μὲν κακοποιοὶ